τὴν πανοῦργον.] παλίμβολον. Ἀλλ᾽ ἅπαν γένοιτ᾽ ἂν ἤδη.] ἀλλὰ πάντα δυνατά ἐστι ποιεῖσθαι καὶ οὐδὲν ἀδύνατον. Παροιμίαν τὴν παλαιὰν ὑπὸ λίθῳ γάρ.] ταύτῃ τῇ παροιμίᾳ χρῶνται πολλοὶ τῶν παλαιῶν, καὶ αὐτὸς ὁ Σοφοκλῆς. φησὶ γὰρ ἔν τινι τραγῳδίᾳ, ἐν παντὶ τὸν σκορπίον φρουρεῖν λίθῳ. ἥτις παροιμία δηλοῖ καὶ σημαίνει, οὐδὲν ἀσφαλὲς οὐδὲ πιστὸν καὶ στάσιμον εἶναι ἐν τῷ βίῳ ἀνθρωπίνῳ. καὶ διὰ τοῦτο πάντα εἶναι φυλακτέα, σιωπητέα, καὶ διαθρητέα ὡς ἀκριβέστατα, ἵνα μὴ ἀφύλακτοι κακόν τι πάσχωμεν, καὶ εὐλαβητέον εἶναι, μὴ ἀπερισκέπτως λέγωμέν τι. πολλάκις γὰρ δακεῖν ταύτην τὴν ἀπερισκεψίαν λανθάνοντα ὑπὸ λίθῳ ῥήτορα. μετήνεκται δ᾽ αὐτὴ ἡ παροιμία τὸ παράπαν ἐκ φύσεως τοῦ σκορπίου, ὅστις λανθάνει κείμενος ἐν τοῖς λίθοις, οὓς ἐάν τις ἀφρονέστερον ἀφέληται καὶ μὴ εὐλαβῶς, εὐθὺς δακεὶς κακόν τι μέγα πάσχει, ὥς φησι Νίκανδρος, Σκορπίος ἀπροϊδὴς ὀλίγῳ ὑπὸ λᾶϊ λοχήσας. Πλὴν ἄρ᾽ ἢ γυναῖκες.] οὕτως ἀναιδεῖς θρασεῖαι, καὶ ἀναίσχυντοι τῇ φύσει. Μὰ τὴν Ἄγραυλον.] τὴν Ἄρτεμιν, ἐν ἀγρῷ διανυκτερεύουσαν. Εὐφρονεῖτε.] σωφρονεῖτε.

BISETUS. Ἵνα μὴ βοῴη.] περὶ τούτων ἐν Ἀχαρνεῦσιν οὕτω προείρηται,

Δός μοι χυτρίδιον σφογγίῳ βεβυσμένον.

τὰ χόλια. χύτραν φέρουσιν, ἐν ᾗ σφόγγος πεπληρωμένος μέλιτος, καὶ τιθέασιν ἐν τῷ στόματι τῶν παιδίων ὅπως σιωπήσωσι ζητοῦντες τροφήν. τὸ δὲ βοῴη Ἀττικῶς ἀντὶ τοῦ βοάοι, βοῴ. Τὸ γὰρ ἦτρον.] ἦτρον, τὸ ὑπὸ τὸν ὀμφαλὸν μέρος, καὶ τὸ κάλυμμα τῆς μήτρας, ὃ καλοῦσιν ἔλυτρον. γελοίως δὲ εἶπεν, ἦτρον τῆς χύτρας. ἐν χύτραις γὰρ τὰ παιδία ἐξετίθεσαν. Σ. Ἄλλως. τὸ μέν τοι ὑπὸ τὸν ὀμφαλὸν πᾶν ἄχρι τῶν ὑπὲρ αἰδοῖα τριχώσεων ἦτρόν τε, καὶ ὑπογάστριον καλοῦσι. Πολυδεύκης. Ἐξέσπασεν ἐκ τοῦ στόματος] δηλονότι τὸ κηρίον, ᾧ τὸ τοῦ παιδίου στόμα πρότερον ἔβυε. τὸ δὲ ἀνέκραγε, τὸ παιδίον τὸ στόμα ἔχον ἤδη ἐλεύθερον. θεῖ δὲ, τρέχει. Λέων, Λέων.] Σ. λέων, λέων σοι γέγονεν ἔκμαγμα σόν. ἐπὶ τῶν μοιχευομένων δὲ, καὶ τικτουσῶν γυναικῶν τοῦτο λέγεται. ἀλλὰ καὶ παρὰ τῷ Σουίδᾳ ὁ στίχος οὗτος ἐλλειπὴς γράφεται, ὃν οὕτω καλῶς ἐκπληρώσειας,

Λέων, λέων σοι γέγονεν αὐτ᾽ ἔκμαγμα σόν.

Ὁ δὲ Μνησίλοχος τοὺς κακίστους τῶν μοιχευομένων γυναικῶν τρόπους διὰ τούτων ἡμῖν χαρακτηρίζει. αὗται γὰρ τοὺς ἄνδρας ἀπατηλῶς ἀπατῆσαι λέγουσιν, ὡς καλὸν τὸ παιδίον, ὡς τῷ πατρὶ προσόμοιον ἀληθῶς κατὰ πάντα τοῦ σώματος μέρη. οὕτω καὶ ἡ γραῦς νῦν ταῦτα λέγει. ὁ δὲ

A νοῦς ὅδε. ὦ πάτερ, πάτερ τοῦδε τοῦ παιδίου, ὅρα, ὅρα πῶς σθεναρὸν, καὶ ῥωμαλέον λέοντος δίκην εἶναι φαίνεται τὸ παιδίον, ὃ νῦν σοι γέγονεν, αὐτὸ τὸ ἔκμαγμα, καὶ αὐτὴ ἡ ἀληθινὴ εἰκών σου. ἐκμάττειν δὲ δηλοῖ τὸ ἐκτυποῦν, καὶ χαρακτηρίζειν τινὸς εἰκόνα. ὅθεν τὸ ἔκμαγμα ταὐτὸ δηλοῦν τῷ ἐκτυπώματι. ὅπερ καὶ ἐκμαγεῖον, καὶ εἶγμα, καὶ εἰκὼν συνωνύμως καλεῖται. καὶ ἐκμάττεσθαι, τὸ ἐκτυποῦσθαι. εἶγμα δὲ ἡ εἰκὼν, παρὰ τὸ εἴκειν, τὸ ὅμοιον ποιεῖν, ἢ ὅμοιον εἶναι. στρεβλὸν δὲ, καμπύλον. κύτταρον δὲ, τὸ πῶμα τῆς

B βαλάνου, ὅπου ἐγκάθηται ἡ βάλανος. Θεόφραστος δέ φησι κυρίως λέγεσθαι τὴν προάνθησιν τῆς πίτυος, ἥτις ἐστὶν ὁ μικρὸς στάχυς ἐκ μεγάλων πυρῶν. ξηραινόμενος δὲ θυλακοῦται, καὶ ἀποπίπτει. λέγεται καὶ κύτταρος ἡ τοῦ αἰδοίου βάλανος. Τουτὶ μέν τοι.] στίχοι μικτοὶ ια΄. ὁ δὲ χορὸς τὴν τοῦ Μνησιλόχου, ὃν γυναῖκα εἶναι ἐνόμιζε, θρασύτητα, καὶ παρρησίαν ἐν τῷ οὕτω φανερῶς τὰ τῶν γυναικῶν κακουργήματα, καὶ πανουργίας ἀποκαλύπτειν ἀκούσας, μετὰ θαυμασμοῦ, καὶ ἐκπλήξεως ταῦτα λέγει. Ὠόμην.] γραπτέον ᾤμην, παρὰ τὸ οἴομαι, τὸ νομίζω· οὕτως γὰρ ὁ στίχος ἐστὶ τροχαϊκὸς τετράμετρος καταληκτικός. βέλτιον δ᾽ ἴσως καὶ τὸ ἡμῖν ὀξυτονεῖν, ἵν᾽ ᾖ τροχαῖος, ὥσπερ καὶ

C οἱ λοιποὶ πόδες, πλὴν τοῦ ἕκτου, ὅς ἐστι σπονδεῖος. Ὑπὸ λίθῳ γάρ.] πρὸς τὴν παροιμίαν παίζει, ὑπὸ παντὶ λίθῳ σκορπίος. ἐλλείπει δὲ τὸ ὕπεστι. τοῦτο δὲ λέγεται ἐπὶ τῶν ἐριστικῶν, καὶ κακοήθων. παραινεῖ δὲ μὴ προπετῶς λαλεῖν τοῦ μὴ δηχθῆναι. Σοφοκλῆς Αἰχμαλώτοις,

Ἐν παντὶ γάρ τε σκορπίος φρουρεῖ λίθῳ.

Σ. τοῦτο δὲ γελοίως, καὶ παρὰ προσδοκίαν εἴρηται, δέον γὰρ εἰπεῖν, μὴ δάκῃ σκορπίος, εἶπε, μὴ δάκῃ ῥήτωρ. οἱ

D γὰρ ῥήτορες τοῖς σκορπίοις ὅμοιοι διὰ τὸ κακόηθες, καὶ φαρμακῶδες τῶν λόγων, οἷς χρῶνται. Ἀλλ᾽ οὐ γάρ ἐστι.] στίχοι ἰαμβικοὶ τετράμετροι καταληκτικοὶ μγ΄. ὧν ὁ τελευταῖος,

Σιγᾶθ᾽ ἵν᾽ αὐτοῦ κοσμίως.

Οὐ μὰ τὴν Ἄγραυλον.] αἱ γυναῖκες τῷ τοῦ Μνησιλόχου λόγῳ σφόδρα πικρανθεῖσαι, καὶ ὀργισθεῖσαι, αὐτοῦ καταβοῶσι, καὶ τῆς ἀνυποστάτου τόλμης, καὶ ἀναιδοῦς παρρησίας αὐτῷ δοῦναι δίκην ἀξιοῦσιν. ἐκ δὲ ταύτης τῆς ἀντιλογίας, καὶ ἀλλήλων κατηγορίας μέγας θόρυ-

E βος ἐν αὐταῖς ἠγέρθη. Τὴν Ἄγραυλον.] περιφραστικῶς οὕτω καλεῖ τὴν Ἄρτεμιν ὡς ἐν τοῖς ἀγροῖς διὰ τὰς θήρας ἐναυλοῦσαν, καὶ διάγουσαν. ἣν καὶ ἀγροτέραν, καὶ ἀγραίαν οἱ ποιηταὶ συνωνύμως καλοῦσι.

| | |
|---|---|
| Ἀλλ᾽ ἢ πεφάρμαχθ᾽ ἢ κακόν τι μέγα πεπόνθατ᾽ ἄλλο. | *Sed vel venenatæ estis, vel malum aliquod maius passæ estis aliud,* |
| Ταύτην ἐάσαι τὴν φθόρον τοιαῦτα περιυβρίζειν | *Hanc permittentes perniciem talibus iniurijs afficere* |
| Ἡμᾶς ἁπάσας. εἰ μὲν οὖν τίς ἐστιν. εἰ δὲ μὴ ἡμεῖς | F *Nos omnes. si igitur aliqua est, sin minus, nos* |
| Αὐταί γε καὶ τὰ δουλάρια τέφραν πόθεν λαβοῦσαι, | *Ipsæ quidem & ancillulæ cinerem alicunde accipientes,* |
| Ταύτης ἀποψιλώσομεν τὸν χοῖρον, ἵνα διδαχθῇ | *Huius expilabimus uuluam, ut doceatur* |
| Γυνὴ γυναῖκας οὖσα μὴ κακῶς λέγειν τὸ λοιπόν. | *Mulier mulieres existens non vituperare posthac.* |
| Μν. Μὴ δῆτα τόν γε χοῖρον ὦ γυναῖκες. εἰ γὰρ οὔσης | G *SOC. Ne profectò genitale muliebre ô mulieres. si enim existente* |

BOURDINUS. Πεφάρμαχθε] ὑπὸ φαρμάκων τὴν διάνοιαν βέβλαφθε. φαρμάττειν γὰρ σημαίνει